ονα διὰ τὸ συλλαβεῖν αὐτὸν, ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ, καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο· ἔνθα ὄντος τοῦ Ταύρου εἴ ποτε παρὰ τοῦ Μίνωος ἐκρατήθη τις ἀδικῶν, παρὰ τὸν Ταῦρον ἐπέμπετο, ὡς ὁ Ταῦρος τιμωρήσαιτο· καὶ λαβὼν οὖν ποτε Μίνως τὸν Θησέα πολέμιον, ἐπὶ τὸν Ταῦρον ἀπέστειλεν, ὡς ἀποθανούμενον· γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη παρεισπέμπει ξίφος εἰς τὴν εἱρκτὴν, δι' οὗ ὁ Θησεὺς ἀναιρεῖ τὸν Μινώταυρον.

Περὶ τῆς Εὐρώπης.

ΦΑσὶν Εὐρώπην τὴν Φοίνικος ἐπὶ ταύρου ὀχουμένην διὰ τῆς θαλάττης ἐκ Τύρου εἰς Κρήτην ἀφικέσθαι· ἐμοὶ δὲ δοκεῖ οὔτε ταῦρον, οὔθ' ἵππον, τοσοῦτον πέλαγος διανήξασθαι δύνασθαι· οὔτε κόρην ἐπὶ ταῦρον ἄγριον ἀναβῆναι· ὅ τε Ζεὺς εἰ ἐβούλετο Εὐρώπην εἰς Κρήτην ἐλθεῖν, εὗρεν ἂν αὐτῆς ἑτέραν πορείαν καλλίονα·

τὸ

des vitam ſuſtinuit, mittente verò Minoe aliam turbam copioſiorem ad eum capiendum, adoleſcens factâ foſsâ ſe continuit: in quâ dum eſſet Taurus, ſi quis facinoroſus à Minoe deprehenderetur, ad Taurum mittebatur ut ipſe de illo ſupplicium ſumat: cúmque aliquando Minos Theſea hoſtem cœpiſſet, ad Taurum tanquam moriturum ablegavit: hoc verò intelligens Ariadne, gladium in carcerem præmiſit, quo Theſeus Minotaurum interſecit.

Virg. *Æn. Lib. 6. ver.* 25.

De Europâ.

FErunt Europam Pœnicis filiam tauro per mare vectam è Tyro in Cretam trajeciſſe: mihi verò videtur, neque taurum, neque equum tantum pelagus tranſnatare potuiſſe: neque in Taurum agreſtem puellam conſcendiſſe: atque adeò ſi Jupiter Europam in Cretam abire voluiſſet inveniſſet

τὸ δὲ ἀληθὲς ἔχει ὧδε· ἀνὴρ Κνώσσιος ὀνόματι Ταῦρος, ἐπολέμει τῇ Τυρίων χώρᾳ· τελευταῖον δ' ἐκ Τύρου ἥρπασεν ἄλλας τε κόρας, ἀτὰρ δὴ καὶ τὴν τοῦ βασιλέως θυγατέρα Εὐρώπην· ἔλεγον δὲ οἱ ἄνθρωποι, Εὐρώπην τὴν τοῦ βασιλέως παῖδα Ταῦρος ἔχων οἴχεται. τούτου δὲ φημιζομένου, προσανεπλάσθη ὁ μῦθος.

Περὶ τῶν Ἐριννύων.

Κατὰ τοῦτον τὸν λόγον λεγόμεναι Ἐριννύες, ἐρευνητῆρες τῶν ἁμαρτανόντων οὖσαι, Μέγαιρα, Τισιφόνη, καὶ Ἀληκτώ· ὡσπερεὶ μεγαίροντος τούτοις τοῦ θεοῦ, καὶ τινυμένου, ὥσπερ τιμωρουμένου τοὺς γενομένους ὑπ' αὐτῶν φόνους, καὶ ἀλήκτως καὶ ἀπαύστως τοῦτο ποιοῦντος· σεμναὶ δ' αὗται ὄντως αἱ θεαὶ, καὶ Εὐμενίδες κατὰ τὸ πλεῖον εἰς τοὺς ἀνθρώπους εὐμενεῖς τῆς φύσεως διατεταγμένης, καὶ τὴν πονηρίαν κολάζουσαι· φοβεραὶ δὲ τὰς ὄψεις ἔχουσαι εἰσὶ, καὶ πυρὶ καὶ μά-

στιξι

nisset utique viam illi meliorem: veritas autem ità se habet: homo Gnosius nomine Taurus, Tyriorum regionem bello vexabat: postremò autem inter cæteras Tyri puellas rapuit etiam Europam regis filiam: dixerunt igitur homines Europam regis filiam taurum avexisse: his ità gestis, fabula conficta est.

Ovid. *Met. Lib.* 2. *fab.* 18.

De Furiis quas Erynnes vocant.

HAnc ob causam appellantur Erynnes, quasi indagatrices hominum nefariorum: nomina earum Megæra, Tisiphone, & Alecto. Megæra, quasi μεγαίροντος, i.e. *odio habente*, & τιννυμένου, i.e. *vindicante*, aut τιμωρουμένου, i.e. *puniente* homines ob cædes commissas: & hoc faciat ἀλλήλοις, i.e. *incunctanter* & *indefinenter*: sunt autem hæ deæ prorsus venerandæ, & Eumenides vocantur, quòd mutuam inter homines benevolentiam concili-

 liant,

στιξι τοὺς ἀσεβεῖς διώκουσαι, καὶ ὄφεως πλοκάμοις ἔχουσαι, τὴν τοιαύτην φαντασίαν τοῖς κακοῖς ποιεῖν, ὡς ἂν ἀποτίνωσι ποινὰς αὐτοῖς τῶν πλημμελημάτων· ἐν ᾅδου οἰκεῖν λέγονται, διὰ τὸ ἐν ἀσαφεῖ κεῖσθαι τὰς τούτων αἰτίας, καὶ ἀπροόρατον ὑφίστασθαι τὴν φοίτησιν αὐτῶν τοῖς ἀξίοις.

Περὶ Ἰοῦς.

ΦΑσὶ τὴν Ἰὼ ἐκ γυναικὸς βοῦν γεγονέναι, καὶ ἐξοιστρήσασαν, ἐξ Ἄργους διὰ τῆς θαλάσσης εἰς Αἴγυπτον ἀφικέσθαι· τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Ἰὼ βασιλέως τῶν Ἀργείων ἦν θυγάτηρ· ταύτῃ οἱ ἀπὸ τῆς πόλεως τιμὴν ἔδωκαν, τὸ ἱέρειαν εἶναι τῆς Ἀργείας Ἥρας· αὕτη ἔγκυος γεγονυῖα καὶ δείσασα τὸν πατέρα, καὶ τοὺς πολίτας, ἔφυγεν ἐκ τῆς πόλεως· οἱ δὲ Ἀργεῖοι κατὰ ζήτησιν ἐξιόντες, ὅπου ἂν εὕ-

ρον,

liant, & malitiam ſupplicio afficiunt: horrendæ ſunt aſpectu, & facibus & flagellis impios perſequuntur, capilli autem ſerpentibus intorti ſunt, ut horrorem impiis incutiant, ut pro peccatis dignas pœnas perſolvant: apud inferos habitare dicuntur, quòd cauſæ malorum quæ impiis ingruunt in obſcuro ſint, nec eas impii poſſint providere quo ſibi caveant nè in pericula incidant.

Ovid. *Met. Lib.* 4. *fab.* 10, 11, 12.

De Io.

IO ex muliere bovem factam aiunt, œſtróq; percuſſam Argis per mare abiiſſe in Ægyptum: veritas autem hæc eſt. Io Argivorum Regis filia erat: illi hunc honorem cives exhibuerunt, ſacerdotem eſſe Junonis Argivæ: illa verò gravida facta, & patrem civéſque metuens, è civitate ſeſe ſubduxit. Argivi verò, ad perquirendum exeuntes, cùm inveniſſent,

com-

ερον, συλλαμβάνοντες ἐν δεσμοῖς εἶχον· ἔλεγον δέ, ὅτι ὥσπερ βοῦς οἰστρήσασα διαφεύγει εἰς Αἴγυπτον· ἔνθα ἀφικομένη, τίκτει· ὅθεν ὁ μῦθος περιπεπλάσθη.

Περὶ Ἰοῦς καὶ Ἄργου.

Ἰὼ ἡ Ἀρέστορος ἠρᾶτο τῇ Ἥρᾳ· περὶ γάμου δὲ κηδόμενος γονεὺς ὁ πατήρ, οὐ γὰρ ἔτι αὐτῇ ἡ ὄψις παρθένιος ἦν, ἀλλ' ὑπὸ τῆς ἀφροδισίου ἀκμῆς μείζων καὶ καλλίων αὐτῆς ἐφαίνετο, ὡς καὶ βοῦς ὑπὸ τῶν Ἀργείων ἐπονομάζεσθαι, ἐχαλέπαινέ τε, καὶ ἐν φρουρᾷ εἶχεν αὐτήν, φυλάξαι ἐπιστήσας αὐτῇ τὸν τῆς μητρὸς ἀδελφὸν Ἄργον· καὶ ὁ μὲν Ἄργος ἄϋπνος ὤν, καὶ πάνυ ἄφυκτος, οὐδαμῶς αὐτὴν ἀνίει· ὅθεν καὶ Πανόπτης ἔσχεν ἐπίκλησιν· τῶν δὲ ἐπιχειρείων Ἑρμείων, βουλομένης Ἰοῦς, λαθὼν κτείνει τὸν Ἄργον· ἡ δὲ Ἰὼ ἐλευθερωθεῖσα, φεύγει σὺν τοῖς πράξασιν, ἐπιβᾶσα νεὼς φορτίδος, ὑπὸ δὲ χειμῶνος φορηθεῖσα ἀνὰ τὸ πέλαγος ὃ καλεῖται

λεῖται

comprehendentes, illam vinculis constrinxerunt: dicebant bovis instar furiosæ, in Ægyptum illam perfugisse: huc cùm venisset, peperit: & ità fabula fingebatur.

De Io & Argo.

IO Arestoris filia Junoni odio erat: cùm verò antequam nuptui daretur eam concepisse pater comperisset, neque illi ampliùs virginis erat vultus, sed venereâ libidine, major & pulchrior apparebat, ut ab Argivis bos diceretur, ægrè ferens, illam in custodiâ detinebat, constituens Argum matris fratrem illam custodire. Argus verò cùm semper vigilans esset, nec posset eludi, nunquam illam relaxabat: hinc etiam Panoptes dictus est: Mercurius autem unus ex indigenis, ità Io volente, clanculùm Argum occidit: ità liberata Io, navim onerariam ascendens, fugit cum iis qui opem tulere:

λεῖται Ἰόνιον, καὶ πολλαχοῦ περιπλανηθεῖσα, εἰς Ἀερίαν ἐκομίσθη, καὶ θεὸς ἐνομίσθη διὰ τὸ κάλλος.

Περὶ Μαρσύου.

Ὁ Μαρσύας ἀγροῖκος ὤν, γίνεται δὲ ὕστερον μουσικός· ἐμίσησεν Ἀθηνᾶ τοὺς αὐλοὺς, οὐκ ὀλίγον γὰρ ἀφῃροῦντο τοῦ κάλλους· ἡ πηγὴ τὴν εἰκόνα δεξαμένη, τὸ συμβὰν ἐδίδαξεν· οὕτω δὲ ἐρριμμένων τῶν αὐλῶν ὁ Μαρσύας ὑφίσταται· προσάπτει οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν· οἱ δὲ ᾖδον θείᾳ δυνάμει, καὶ ἄκοντος τοῦ χρωμένου· τέχνην ὁ Μαρσύας ἐνόμισεν εἶναι τὴν δύναμιν· καὶ χωρεῖ μὲν κατὰ μουσῶν, χωρεῖ δὲ κατὰ Ἀπόλλωνος, λέγων, οὐδὲ θέλειν εἶναι λοιπὸν ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος· ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται, καὶ τὸ δέρμα μετὰ τὴν ἧτταν ἐκδύεται.

Περὶ

rulere: ſed tempeſtate in mare quod Ionium vocatur delata, multa loca cùm pererrâſſet, Aeriam appulit, & ob pulchritudinem inter deos referebatur.

Ovid. *Met. Lib.* 1. *fab.* 15, 16, 17.

De Marſyâ.

MArſyas erat ruſticus, muſicus autem ipſe evaſit: odio habuit Minerva tibias ſuas, non parùm pulchritudini auferentes: ut à fonte qui imaginem illius oſtenderat, fuerat edocta: projectas ità tibias Marſyas ſuſcipit: ſublatas igitur paſtor labris applicat: illæ verò canebant divinâ inſitâ poteſtate, etiam invito illo qui utebatur: Marſyas hanc virtutem ſuæ arti adſcribens, & muſas aggreſſus eſt & Apollinem, dicens ſe nolle ampliùs vivere niſi in tali certamine deum exuperâſſet: ſed in iſtâ contentione ſuperatur, & cutis uſque ad inferiores partes diripitur.

Ovid. *Met. Lib.* 6. *fab.* 5.

Περὶ Φάωνος.

Τοῦ Φάωνος βίος ἦν, περὶ πλοῖον εἶναι καὶ θάλατταν· πορθμεὺς ἦν θαλάσσης· ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ὀνομάζετο· ἐπεὶ καὶ μέτριος ἦν, καὶ παρὰ τῶν ἐχόντων μόνων ἐδέχετο, θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις· ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεὸς, (Ἀφροδίτην λέγουσι τὴν θεὸν) καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας, τῷ Φάωνι διαλέγεται περὶ πλοῦ· ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι, καὶ διακομίσαι καὶ μηδὲν ἀπαιτῆσαι· τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον, καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα· οὗτος ὁ Φάων ἐστὶν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις ᾆσμα ἐποίησεν.

Περὶ

De Phaone.

PHaon circa navigia, & anguſtias maris, victum quæritabat: neque hoc crimen ab ullo illi objiciebatur: quoniam æquus fuit, & mercedem accepit ſolùm ab iis, qui ſolvendo habebantur: hic mos cœpit eſſe admirationi Lesbiis: & dea (Venerem eam dicunt) hominem laudat, quæ habitu induta mulieris vetulæ, & Phaonem interrogat de trajectione: ille extemplò paratus erat ſervire, & tranſvehere, & nihil mercedis exigere: quid igitur his dea repoſuit? dicitur illum ex ſene juvenem, & formoſum feciſſe: hic ille Phaon eſt, in cujus amorem Sappho ſæpe carmina compoſuit.

Ovid. *Epiſt.* 21.

De

Περὶ Μηδείας.

ΦΑσὶν ὡς ἀφέψουσα τοὺς πρεσβύτας, νέους ἐποίει· ἐγένετο δὲ τοιοῦτον· Μήδεια πρώτη τοιοῦτον ἄνθος εὗρε, δυνάμενον καὶ λευκὰς ποιῆσαι τὰς τρίχας, καὶ μελαίνας· τοὺς οὖν χαίροντας ἐκ τοῦ πολιὰς ἔχειν μελαίνας τρίχας ἐποίει φαίνεσθαι· πυρίαν οὖν πρώτη Μήδεια ἐξεῦρεν· ἐπυρία οὖν τοὺς βουλομένους, οὐκ ἐν τῷ προφανεῖ, ἵνα μή τις μάθῃ τῶν ἰατρῶν· ὄνομα δὲ ἦν τῷ πράγματι, παρέψησις· οἱ γοῦν ἄνθρωποι ἀπὸ πυριάσεων ἐγίνοντο κουφότεροι καὶ ὑγιεινότεροι· ἐκ δὲ τούτου ὁρῶντες τὴν παρασκευὴν, λέβητας καὶ ξύλα καὶ πῦρ, ἐνόμισαν ὡς ἕψει τοὺς ἀνθρώπους· ὁ δὲ Πελίας ἄνθρωπος γέρων καὶ ἀσθενὴς, πυρίᾳ χρώμενος ἐτελεύτησε.

De Medeâ.

FErunt quòd illa ſenes coquens juvenes reddidit: res autem ità erat: Medea prima talem florem invenit, qui albos reddere capillos & nigros potuit: atque ità qui pro albis nigricantes adamarent, efficiebat ut habere viderentur: Balneum prima Medea invenit: caloribus igitur fovebat volentes, non tamen in publico, nè quis medicorum artem addiſceret, huic rei nomen erat, decoctio: cùm igitur homines ejuſmodi fomentis fierent agiliores & ſaniores: quam obrem videntes apparatum, lebetes ſcilicet, ligna & ignem, putabant quòd illa homines coquebat: ſed Pelias vir ſenex & debilis eâ coctione uſus, vitam perdidit.

Ovid. *Met. Lib.* 7. *fab.* 2, 3.

Περὶ Ὠρίωνος.

ΔΙΟ'Σ, Ποσειδῶνος, καὶ Ἑρμοῦ παῖς. Ὑριεὺς Ποσειδῶνος καὶ Ἀλκυόνης, μιᾶς τῶν Ἄτλαντος θυγατέρων, ᾤκει μὲν ἐν Τανάγρᾳ τῆς Βοιωτίας· φιλοξενώτατος δὲ, ὑπεδέξατό ποτε τοὺς θεούς. Ζεὺς δὲ, καὶ Ποσειδῶν, καὶ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ, καὶ φιλοφροσύνην ὑποδεξάμενοι, παρῄνεσαν αἰτεῖν, ὅ, τι ἂν βούλοιτο· ὁ δὲ ἄτεκνος ὤν, ᾐτήσατο παῖδα· λαβόντες δὲ οἱ θεοὶ τὴν τοῦ ἱερουργηθέντος αὐτοῖς βοὸς βύρσαν, ἀπεσπέρμηναν εἰς αὐτήν· καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆς, καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι· ὧν διελθόντων, ἐγένετο ὁ Οὐρίων, οὕτως ὀνομασθεὶς, διὰ τὸ οὐρῆσαι ὥσπερ τοὺς θεούς· ἔπειτα κατ' εὐφημισμὸν, Ὠρίων· συγκυνηγῶν δὲ σὺν Ἀρτέμιδι, ἐπεχείρησεν αὐτὴν βιάσασθαι· ὀργισθεῖσα δὲ ἡ θεὸς, ἀνέδωκεν ἐκ τῆς γῆς Σκορπίον, ὃς αὐτὸν πλήξας κατὰ τὸν ἀστράγαλον, ἀπέκτεινε. Ζεὺς δὲ συμ-

De Orione.

JOvis, Neptuni, & Mercurii filius. Hyrieus Neptuni & Alcyones unius ex Atlantis filiabus Tanagre habitabat civitate Bœotiæ: cùm esset hospitalissimus, Deos aliquando ædibus excepit. Jupiter verò & Neptunus & Mercurius apud eum hospitantes, ejusque benignitatem suscipientes, adhortati sunt, quicquid vellet, peteret: ille verò prolis expers, filium rogavit. Dii verò accipientes bovis immolati corium, semen in illud injecêre: & illud sub terrâ jusserunt abscondi, & post decimum mensem eximi: quibus elapsis natus est Ourion, ità dictus, ab injecto, velut semine, deorum lotio: deinde boni ominis gratiâ, Orion: venatione autem cum Dianâ sese exercens, vim illi conatus est inferre: sed irata dea, produxit è terrâ Scorpionem, qui talum ejus percu-

 tiens,

παθήσας κατηστέρωσεν αὐτόν.

Περὶ Ζήθου καὶ Ἀμφίονος.

ΙΣτοροῦσιν ἄλλοι τε καὶ Ἡσίοδος ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχησαν· δοκοῦσι δὲ ἔνιοι κιθαρίζειν αὐτοὺς, καὶ τοὺς λίθους ἐπὶ τὸ τεῖχος αὐτομάτως ἀναβαίνειν· τὸ δὲ ἀληθὲς ἔχει ὧδε· κιθαρῳδοὶ οὗτοι ἄριστοι ἐγένοντο, καὶ ἀπεδείκνυντο μισθοῦ· ἀργύριον δὲ οὐκ εἶχον τότε οἱ ἄνθρωποι· ἐκέλευον οὖν οἱ περὶ τὸν Ἀμφίονα καὶ εἴτις βούλοιτο ἀκοῦσαι αὐτῶν, ἐρχόμενος εἰργάζετο ἐπὶ τὸ τεῖχος· οὐ μέντοι οἱ λίθοι ἀκροώμενοι ἵσταντο· εὐλόγως οὖν οἱ ἄνθρωποι ἔλεγον, λύρᾳ τὸ τεῖχος ἐκτίσθη.

tiens, interemit: at commiſeratus Jupiter inter ſydera illum collocavit.

Virg. *Æn.* 3. *verſ.* 517.

De Zetho & Amphione.

MEmorant Heſiodus & alii quòd citharæ pulſu Thebarum mœnia fuerunt extructa: arbitrantur verò nonnulli, illis modulantibus ſuâ ſponte lapides in murum aſcendiſſe: ſed veritas ità ſe habet: Citharœdi erant preſtantiſſimi, & oſtendebant artem mercede: nullum enim argentum tunc temporis habuerunt homines: juſſerunt itaque Zethus & Amphion, ut ſi quis vellet eos audire, manum ædificando muro præberet: non enim arrectis ad citharam auribus lapides adſtabant: benè igitur dixerunt homines, lyræ beneficio murum factum fuiſſe.

Hor. *de Arte poetica. Car. lib.* 3. *Od.* 11.

Περὶ τοῦ δουρείου ἵππου καὶ τῆς Τροίας.

ΦΑσὶν ὡς Ἀχαιοὶ οἱ ἐν ξυλίνῳ ἵππῳ, κατεπόρθησαν τὴν Ἴλιον· ἔστι δὲ μυθώδης ἄγαν ὁ λόγος, ἡ δὲ ἀλήθεια ἐστὶν αὕτη· ἵππον κατασκευάσαι ξύλινον, πρὸς μέγεθος μετεωρότερον τῶν πυλῶν, ὅπως μὴ ἑλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχει τῷ μεγέθει· οἱ δὲ λοχαγοὶ ἐκάθηντο ἐν κοίλῳ χωρίῳ περὶ τὴν πόλιν, ὁ Ἀργείων λόχος ἐκαλεῖτο μέχρι τοῦ νῦν· αὐτόμολος δὲ ἐλθὼν ὁ Σίνων εἰς Ἴλιον, φράζει τοῖς Ἰλιεῦσιν, εἰσαγαγεῖν τὸν ἵππον, προσθεὶς καὶ τὸ μὴ εἰσελθεῖν τοὺς Ἕλληνας, ὃ ὑπακούσαντες οἱ Τρῶες, καὶ τὰς πύλας καθελόντες, εἰσάγουσι τὸν ἵππον· εὐωχουμένων δ' αὐτῶν ἐπεισέρχονται οἱ Ἕλληνες καὶ οὕτως ἑάλω ἡ Τροία.

Περὶ

De equo durateo & Trojâ.

DIcunt quod Græci in ligneo equo, Ilium expugnârunt: nimis autem fabulosus est ille sermo: veritas autem hæc est: equum ædificârunt ligneum, ipsis portis magnitudine sublimiorem, ut longè supereminens nullâ ratione trahi in urbem posset: ipsi verò ductores in concavo ad urbem loco consederunt, qui ad hunc usque diem Achivorum insidiæ vocatur: transfuga verò Sinon Ilium adveniens, dicit Iliensibus, ut equum intra mœnia inducerent, datâ fide, non reversuros Græcos: cui Trojani auscultantes, & portas dejicientes, introducunt equum: quibus tum convivantibus supervenêre Græci, & sic capta est Troja.

Virg. *Æn.* 2. *ver.* 15.

Περὶ Ἕλλης καὶ Φρίξου.

ΗΝίκα τὴν Ἰνὼς ἐπιβουλὴν μητρυιᾶς οὔσης ἔφυγον Ἕλλη καὶ Φρίξος, ὁ παιδαγωγὸς, ᾧ ἦν Κριὸς ὄνομα, ἐπὶ πλοιαρίῳ μικρῷ χειμῶνος ὄντος ἔφυγεν, ἔχων αὐτοὺς, καὶ συμβαίνει τὴν μὲν Ἕλλην ἐκπεσεῖν εἰς τὴν θάλασσαν, ὅθεν ἐκλήθη Ἑλλήσποντος, τοῦ δὲ Φρίξου σωθέντος ἐπιθυμητικῶς ἔχειν τὸν Αἰήτην· τὸν δὲ Κριὸν διακωλύοντα, καὶ πειρώμενον ἄφθορον διατηρῆσαι τὸν Φρίξον, ἀποδαρθῆναι, καὶ τὸ δέρμα αὐτοῦ προσπασσαλευθῆναι· χρυσοῦν δὲ προσαγορευθῆναι διὰ τὸ πιστότατον γενέσθαι.

Περὶ τῆς αὐτῆς.

ΙΣτοροῦσιν ὡς ὁ Κριὸς αὐτῷ προὔλεγεν, ὅτι ὁ πατὴρ αὐτὸν μέλλει θύειν· καὶ λαβὼν τὴν ἀδελφὴν αὐτοῦ, ἀναβάς τι ἐπ' αὐτὸν σὺν αὐτῇ, διὰ τῆς θαλάσσης ἀφίκοντο εἰς τὸν Εὔξινον πόντον· ὅπερ ἐστὶ δύσπιστον, τὸ ὡς πλοῖον τὸν κριὸν, διανήχεσθαι, καὶ ταῦτα βαστάζοντα δύο

ἀνθρώπους·

De Helle & Phrixo.

DUM Iûs noverçæ inſidias evaderent Helle & Phrixus, Pædagogus, nomine Crios, *i. e.* Aries, eos cum navicula ſæviente hyeme convehens, in fugam ſe vertit, & accidit Hellem in pontum inciciſſe, unde Helleſpontus vocabatur, Phrixi verò ſervati amore Æetem ardere: cùm verò Crios prohiberet, & ſervare puerum incorruptum conaretur, excoriabatur, & pellis ejus paxillo fuit affixa: nominatum verò aureum, quod maximè fidem ſervavit.

De iiſdem.

DIcunt quod Phrixo Aries prædixit, futurum, ut illum pater diis immolaret: atq; illum aſſumptâ ſorore arietem conſcendiſſe, & per mare veniſſe in Pontum Euxinum: creditu verò perdifficile eſt, arietem duos quidem homines portantem, navis inſtar

ἀνθρώπους· καὶ ποῦ τὰ σιτία, καὶ ποτὰ, καὶ αὐτοῦ, καὶ ἐκείνων; οὐ γὰρ δή που ἄσιτοι, τοσοῦτον χρόνον, διέμειναν· εἶτα Φρίξος τὸν τὴν σωτηρίαν αὐτοῦ φέροντα κριὸν, καὶ διασώσαντα σφάξαι, καὶ τὸ δέρμα ἀποδείρας ἔδωκεν ἕδνον Αἰήτῃ· ὁ δὲ Αἰήτης τῶν Κόλχων τότε ἐβασίλευσε· τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀθάμας ὁ τοῦ Αἰόλου τοῦ Ἕλληνος ἐβασίλευσε τῆς Φρυγίας· ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτροπος τῶν χρημάτων, ὃν μάλιστα πιστὸν ἡγεῖτο, ὀνόματι Κριός· ὃς αἰσθόμενος τὸν Ἀθάμαντα ἀποκτεῖναι ἐθέλοντα τὸν Φρίξον, δηλοῖ τοῦτο τῷ Φρίξῳ· ὁ δὲ Φρίξος κατασκευάσε ναῦν, καὶ ἐνέθετο ἐν αὐτῇ χρήματα πάμπολλα, ἐν ᾗ ἦν καὶ ἡ μήτηρ Πέλοπος, ὄνομα δὲ αὐτῇ, Ἠΐς· καὶ αὕτη ἐκ τῶν αὐτῆς χρημάτων εἰκόνα ποιησαμένη χρυσῆν ἐνέθετο· σὺν τοῖς χρήμασι γοῦν καὶ Φρίξον καὶ Ἕλλην ὁ Κριὸς ἐν ταύτῃ ἐνθεὶς, ᾤχετο ἀπιών· ἡ μὲν οὖν Ἕλλη κατὰ τὸν πλοῦν ἀσθενήσασα, ἀπέθανεν, ἐξ ἧς καὶ Ἑλλήσποντος ἐκλήθη· αὐτοὶ δὲ ἀφικόμενοι εἰς Κόλχους

κατοι-

inſtar fretum tranſnatare: & ubi alimentum potúſque & hujus & illorum? neque enim tantùm temporis tranſigere ſine cibo potuêre. Phrixus deinde cùm arietem ſalutis ſuæ autorem ſervatorémque mactâſſet & pellem detraxiſſet, muneris loco dedit Æetæ: Æeta verò tunc temporis Rex fuit Colchorum: verùm ità ſe habet veritas. Athamas Æoli Græci filius, Phrygiæ imperabat, rerúmque ſuarum habebat inſpectorem, quem maximè fidum arbitrabatur nomine Crium, ſeu arietem: hic poſtquam animadvertit animum Athamanti eſſe Phrixum interficiendi, hoc indicavit Phrixo: hic verò navim comparans magnas divitias illi impoſuit, quâ etiam navi mater erat Pelopis cui nomen erat Aurora: & ipſa ex pecuniis ſtatuam conficiens auream ſecum tulit. Crius igitur Phrixum & Hellem cum eorum divitiis navi imponens, mare ingreſſus eſt. Helle quidem navigatione ægrotans,

κατοικοῦσιν ἐκεῖ, καὶ γάμει Φρίξος τὴν τοῦ τῶν Κόλχων βασιλέως θυγατέρα Αἰήτου, δοὺς ἕδνα τούτῳ τὴν χρυσῆν εἰκόνα τοῦ Κωδίου, ἀλλ' οὐχὶ δέρμα κριοῦ· οὕτως ἀλήθεια ἔχει.

Περὶ Λυγκέως.

ΛΥγκέα λέγουσιν ὡς τὰ ὑπὸ γῆν ἑώρα· τοῦτο δὲ ψεῦδος· τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Λυγκεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον, καὶ τὰ λοιπά· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλειπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν, καὶ τὸν σίδηρον· ἔλεγον οὖν οἱ ἄνθρωποι, ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ, καὶ καταδυόμενος ἀργύρειον περιφέρει.

Περὶ

tans, tandem exſpiravit, unde Helleſpontus vocabatur: illi verò ad Colchos venientes, ibi habitaverunt, ducitque in uxorem Phrixus, filiam Æetæ Colchorum Regis, in dotem illi dans auream Codii ſtatuam, non autem vellus arietis: atque hæc quidem veritas.

Ovid. *Epiſt.* 17. Leand.

De Lynceo.

FErunt Lynceum illa quæ ſub terra ſunt poſſe perſpexiſſe: hoc verò falſum: veritas autem ità eſt: Lynceus primus cœpit æs, argentum & reliqua metalla effodere, ínque ea effoſſione lucernas ſecum ſub terrâ ferens, illas ibi reliquit, ipſe verò omne æs ferrúmque ſuſtulit: dixerunt igitur homines, Lynceum in terræ penetralia conſpicere, & ea ſubiens argentum auferre.

Horat. *Lib.* 1. *Sat.* 2.

De

Περὶ Κρόνου.

ΤΟ δὲ καὶ τὸν Κρόνον ὑπὸ Διὸς δεδέσθαι οὐκ ἀληθές· ἀλλὰ φέρεται ὁ Κρόνος τὴν ἔξω φορὰν πολὺς ἀφ' ἡμῶν· ἡ δὲ κίνησις αὐτοῦ, καὶ οὐ ῥᾳδία τοῖς ἀνθρώποις φαίνεται· διὸ εἶναι αὐτὸν φασί πως πεπεδημένον· τὸ δὲ βάθος τῶν πολλῶν ἀστέρων Τάρταρος λέγεται.

Περὶ τοῦ αὐτοῦ.

Ο Κρόνος ἱστορεῖται συνεχῶς κατιὼν ἐπὶ τὸ μίγνυσθαι τῇ γῇ· ὕστερον δὲ ἐκτεμεῖν, καὶ παῦσαι τῆς ὕβρεως· ὁ μὲν γὰρ Ζεὺς ἐκβαλὼν αὐτὸν τῆς βασιλείας κατεταρτάρωσε· διὰ γοῦν τούτων αἰνίττονται, ὅτι ἡ τῆς ὅλης γενέσεως τάξις, ἣν ἔφαμεν ἀπὸ τοῦ κραίνειν, Κρόνον εἰρῆσθαι· τὴν γινομένην τότε πολλὴν ῥύσιν τοῦ περιέχοντος ἐπὶ τὴν γῆν ἔστειλε, λεπτοτέρας ποιήσασα τὰς ἀναθυμιάσεις· ἡ δὲ τοῦ κόσμου φύσις ἐπιχύσεις ἐπιχύσα-

σα

De Saturno.

FAlsò narrant Saturnum à Jove vinculis aſtrictum: ſed Saturnus remotior à nobis externo curſu fertur: motus autem tardus, & non facilè ab hominibus percipitur: dixerunt igitur illum ſtetiſſe quaſi ligatum: multorum verò ſyderum profunditas Tartarus appellatur.

De eodem.

FErtur Saturnum è cœlo deſcendiſſe ſtupríque conſuetudinem cum terrâ habuiſſe: ſpoliatum verò teſtibus, terram injuriâ afficere ceſſaviſſe: Jupiter verò illum regno expellens, in Tartarum præcipitem dedit: per hæc igitur obſcurè ſignificabant, quòd univerſus generationis ordo, quem ἀπὸ τοῦ χραίνειν, i. e. *commiſcendo*, deduximus Κρόνον, i. e. *Saturnum*, vocitari. Saturnus fluxum cœli in terram uberi-

σα, ἣν καὶ Δία ἐλέγομεν καλεῖσθαι, τὸ λίαν φερόμενον τῆς μεταβολῆς ἐπέσχε καὶ ἐπεπέδησε, μακρότερον διεξαγαγὼν, καὶ δεσμὸς αὐτῷ τοῦ κόσμου· πάνυ δ' εἰκότως καὶ ἀγκυλομήτην καλοῦσι τὸν Κρόνον, ἀγκύλων ὄντων καὶ δυσπαρακολουθήτων, ἃ μὴ τελέσηται πρότερον ἀριθμοὺς ἐξελίττων.

Περὶ τῆς Ῥέας.

Ῥέαν φασὶ γενομένην αὐτῇ τοῦ Διός, λίθον ἀντ' αὐτοῦ προσενεγκεῖν ἐσπαργανωμένον τῷ Κρόνῳ, τοῦτον εἰποῦσα τετοκέναι, κἀκεῖνον μὲν καταποθῆναι ὑπ' αὐτοῦ· τὸν δὲ Δία τραφέντα, βασιλεῦσαι τοῦ κόσμου· ἐνταῦθα οὖν ἄλλως εἴληπται ἡ κατάποσις· συντέτακται γὰρ ὁ μῦθος περὶ τῆς τοῦ κόσμου γενέσεως, ἐν ᾧ τότε ἀνετρόφη ἡ διοικοῦσα αὐτὸν φύσις, καὶ ἐπεκράτησεν, ὅτι εἰς τὸ μεσαί-

τατον

uberiorem cohibuit & exhalationes tenuiores effecit: mundi autem natura, quam Jovem appellavimus Infusiones infundens, nimiam rerum mutationem compescuit, vinculisque devinxit, in longius eam producens mundóque tradens: similiter omninò *Saturnum* ἀγκυλομήτην, i. e. *versutum* appellant, quasi quæ non perfecerit totidem numeros evolvens, incurva & tarda sint.

Ovid. *Fast. Lib.* 1. *ver.* 235.

De Rheâ.

FErunt Rheam cùm Jovem peperisset loco Jovis saxum fasciis involutum Saturno dedisse, dicentem se hoc peperisse, illúdque ab illo fuisse devoratum. Jupiter autem cùm educaretur, imperium mundi obtinuit: alia autem est devoratio: fabula enim hæc ad ostendendam mundi creationem composita est: quia tum temporis, natura quæ nunc mundum regnat

ταυτὸν αὐτοῦ ὁ λίθος ἐστὶν, ὃν καλοῦμεν γῆν, οἱονεὶ καταποθεὶς, ἐγκατεστήρικται· οὐ γὰρ ἂν ἄλλως συνέστη τὰ ὄντα, εἰ μὴ ἐπὶ θεμελίῳ ταύτῃ ἐρείσθη, γενομένων καὶ τρεφομένων ἐντεῦθεν πάντων.

Περὶ τοῦ Διός.

ΩΣπερ δὲ ἡμεῖς ἀπὸ ψυχῆς διοικούμεθα, οὕτω καὶ ὁ κόσμος ψυχὴν ἔχει τὴν συνέχουσαν αὐτόν· καὶ αὕτη καλεῖται Ζεύς· πότερον διὰ τὸ σώζειν καὶ αἰτία οὖσα τοῖς ζῶσι τοῦ ζῆν, διὰ τοῦτο βασιλεύειν ὁ Ζεὺς λέγεται τῶν ὅλων· ἢ ὡσανεὶ καὶ ἐν ἡμῖν ἡ ψυχὴ καὶ ἡ φύσις ἡμῶν βασιλεύειν ῥηθείη· παρά τισι δὲ καὶ Δεὺς λέγεται, τάχα ἀπὸ τοῦ δεύειν τὴν γῆν, ἢ μεταδιδόναι τοῖς ζῶσι ζωτικῆς ἰκμάδος· καὶ ἡ γενικὴ πτῶσις αὐτοῦ ἐστὶ Διός, παρακειμένη πως τῇ Δεύς· οἰκεῖν δὲ ἐν τῷ οὐρανῷ λέγεται, ἐπεὶ

ἐκεῖ

& administrat in mundo nutriebatur, & tandem invaluit: lapis enim hic, quem terram vocamus, medium locum, quasi devoratus, firmiter occupavit: nec enim aliter consistere possent entia, nisi tanto niteretur fundamento: hinc omnia & nascuntur & nutriuntur.

Ovid. *Fast.* *Lib.* 4. *vers.* 201.

De Jove.

UT nos gubernamur ab animâ, sic mundus & animam habet à quâ continetur: & hæc vocatur (Ζεὺς) i.e. *Jupiter*: quia salus & causa est omnium viventium: ideóque universo imperare dicitur: vel ut nobis præsit anima, ità omnibus longè latéque imperet natura: nonnulli mundi animam (Δεὺς) nominant, fortassè quòd irriget terram, vel quòd vitalem humorem viventibus præbet: casus autem genitivus à (Δεὺς) est (διὸς) ut qui ei sit propinquior quàm Ζεὺς· in

ἐκεῖ τὸ κυριώτατον μέρος τῆς τοῦ κόσμου ψυχῆς· καὶ γὰρ αἱ ἡμέτεραι ψυχαὶ, πῦρ εἰσι.

Περὶ τοῦ αὐτοῦ.

Μετὰ δὲ ταῦτα, ἄλλως ὁ Ζεὺς πατὴρ λέγεται θεῶν καὶ ἀνθρώπων εἶναι, διὰ τὴν τοῦ κόσμου φύσιν αἰτίαν γεγενέναι τῆς τούτων ὑποστάσεως, ὡς οἱ πατέρες γεννῶσι τὰ τέκνα· νεφεληγερέτην καὶ ἐρίγδουπον αὐτὸν καλοῦσι, τῷ ἄνω ὑπὲρ ἡμᾶς νέφη καὶ βροντὰς συνίστασθαι, καὶ τοὺς κεραυνοὺς ἐκεῖθεν, καὶ τὰς καταιγίδας ἐνσκήπτειν· ἄλλως, ἤδη τὸν οὐρανὸν λελογχότι θεῷ πάντας τοὺς ὑπὲρ γῆν τόπους ἀπονενεμημένῳ, διὰ μὲν τὰς αἰγίδας ὡς δὴ ἀπὸ τοῦ ἀΐσσειν τοῦ ὁρμᾶν, τὸ ὄνομα αἰγίοχος ἐκλήθη· δι' ἄλλας δὲ ὁμοιοειδεῖς καὶ εὐεπιγνώστους αἰτίας ὑέτιος, καὶ ἐπικάρπιος, καὶ καταιβάτης, καὶ ἀστεροπαῖος, καὶ ἄλλως δὲ πολλαχῶς, κατὰ διαφόρους ἐπινοίας· καὶ σωτῆρα,

cœlo autem habitare dicitur, ſiquidem cœlum eſt animæ mundi pars principaliſſima: ſunt enim & animæ noſtræ de ſubſtantia ignis.

De eodem.

POſt hæc Jupiter aliâ ratione pater deorum hominúmque dicitur: id indè fit, quòd mundi natura horum eſſentiæ non ſecus cauſa ſit, ac parentes liberorum quos procreant: vocant eum, νεφεληγερέτην, i. e. *nubicogam*, & ἐριγδουπον, i. e. *tonantem*, quòd in eâ regione quæ ſuprà nos eſt, nubes & tonitrua cogat, indéque fulmina tempeſtatéſque deferantur: aliter, nempe quòd utprimùm rector cœli ſit conſtitutus, omnes cœli regiones illi conceſſerint, propter procellas αἰγίοχος appellatus eſt, ἀπὸ τοῦ αἰΐσσειν, i. e. *impetu ferri:* propter alias quaſdam haud diſſimiles nec cognitu difficiles cauſas, pluvialis, frugifer, deſcenſor, ful-

σωτῆρα, καὶ ἕρκειον, καὶ πολιέα, καὶ πατρῷον, καὶ ὁμόγνιον, καὶ ξένιον, καὶ κτήσιον, καὶ βουλαῖον, καὶ τροπαιοῦχον, καὶ ἐλευθέριον αὐτὸν προσαγορεύουσιν, ἀπεριλήπτων ὅσων ὀνομασιῶν αὐτῷ τούτων οὐσῶν, ἐπεὶ διατέτακεν εἰς πᾶσαν δύναμιν καὶ σχέσιν, καὶ πάντων αἴτιος, καὶ ἐπόπτης ἐστίν· οὕτω δὲ ἐρρέθη καὶ τῆς δίκης πατὴρ εἶναι· ὁ γὰρ παραγαγὼν εἰς τὰ πράγματα τὴν κοινωνίαν τῶν ἀνθρώπων, καὶ παραγγείλας αὐτοῖς μὴ ἀδικεῖν ἀλλήλους, οὗτός ἐστι· καὶ τῶν χαρίτων, ἐντεῦθεν γάρ εἰσιν αἱ τοῦ δανείζεσθαι καὶ εὐεργετεῖν ἀρχαί· καὶ τῶν ὡρῶν κατὰ τοῦ περιέχοντος ποιοῦντος μεταβολὰς σωτηρίους· καὶ τῶν γινομένων ἐπὶ τῆς γῆς ἄλλων, καὶ ὀνομασμένων ἀπὸ τῆς φύσεως, οὗτός ἐστι παρεχώς· παριστάνουσι δ' αὐτὸν τελείου ἀνδρὸς ἡλικίαν ἔχοντα· ἐπεὶ οὔτε τὸ παρηκμακὸς, οὔτε τὸ ἐλλιπὲς ἐμφαίνει· διὰ τοῦτο καὶ τέλεια αὐτῷ θύουσι· τὸ δὲ σκῆπτρον, τῆς δυναστείας αὐτοῦ σύμβολόν ἐστι· πολλαχοῦ δὲ καὶ νίκην κρατῶν, πλάττεται· περίεστι γὰρ πάντων, καὶ οὐδὲν ἡττᾷν αὐτοῦ

δύναται·

fulgurator, & aliis interdum nominibus aliis de causis vocatur: servatorem, vallarem, tutorem urbium, patrium, gentilitium, hospitalem, quæstuarium, consiliarium, trophæorum & libertatis præsidem eum vocant: ut cui infinita talia sunt nomina, siquidem in omnem hujus universi virtutem est diffusus, omniúmque est causa & inspector: ità justitiæ pater appellatus est: is enim est, qui societatem mutuam inter homines constituit, & nè mutuis injuriis certarent interdixit: est & gratiarum pater, hinc etiam fœnerandi & benefaciendi initium sumitur: & horarum pater, quæ dum cyclos suos in cœlo evolvunt salutares præbent in hoc universo mutationes: aliarum quoq; rerum naturalium idem Jupiter autor est: fingunt eum in perfectâ & virili ætate constitutum, siquidem nec senectam, nec juventam habitu corporis refert: hinc fit ut perfecta ei immolent: sceptrum

δύναται· ἱερὸς δὲ ὄρνις αὐτοῦ ὁ ἀετὸς λέγεται εἶναι, διὰ τὸ ὀξύπτατον τοῦτον εἶναι τῶν ἄλλων πτηνῶν· στέφεται δὲ ἐλαίᾳ, διὰ τὸ ἀειθαλὲς, καὶ λιπαρὸν, καὶ πολύχρηστον.

Περὶ τῆς Ἥρας.

Γυνὴ δὲ καὶ ἀδελφὴ τοῦ Διὸς παραδέδοται ἡ Ἥρα, ἥ τις ἐστὶν ἀήρ· συνῆπται γὰρ εὐθὺς αὐτῷ, καὶ κεκόλληται, αἰρομένη ἀπὸ τῆς γῆς, ἐκείνου αὐτῆς ἐπιβεβηκότος· καὶ γεγόνασιν ἐπὶ τῆς αὐτῆς νύσεως· ῥυεῖσα γὰρ εἰς λεπτότητα ἡ οὐσία, τό τε πῦρ καὶ τὸν ἀέρα ὑφίστησιν· ἐφ᾽ ᾧ καὶ Ῥέαν τὴν μητέρα αὐτῶν ἐμυθεύσαντο εἶναι, πατέρα δὲ τὸν Κρόνον· ἤτοι διὰ τὸ ἐν τεταγμένοις μέτροις χρόνου γενέσθαι ταῦτα, ἢ διὰ τὸ κατὰ σύγκρισιν καὶ κερασμὸν τῆς ὕλης, τὴν εἰς τὰ στοιχεῖα διάκρισιν ἀποτελεῖσθαι·

autem poteſtatis illius ſignum eſt: pingitur interdum tenens manibus victoriam: ſuperior enim eſt omnibus, & nihil poteſt eum vincere: aquila autem dicitur illi avis eſſe ſacra, quòd omnium aliarum avium eſt perniciſſima: oleaginâ verò coronâ redimitur, quòd hæc arbor ſemper virens & pinguis ſit, & olei plurimus ſit uſus.

Ovid. *Met. fab.* 7, 8. *Lib.* 1.

De Junone.

Conjux & ſoror Jovis eſſe traditur Juno, quæ eſt aer: ſtatim námque ei copulata & conjuncta eſt, cùm in altum è terrâ tolleretur, eámque ipſe conſcenderet: ex eodem quoque fluxu nati ſunt: diffluens enim in tenuitatem ſubſtantia, ignem & aera producit: hinc & Rheam ipſorum eſſe matrem fabulati ſunt, patrem verò Κρόνον, i. e. *Saturnum:* propterea quòd certâ temporis menſurâ illa eſſe facta, ſive quòd per conjun-

ctionem

πλεῖσθαι· ἢ ὅπερ πιθανώτερον, διὰ τὸ πεπυκνῶσθαι ὑφίστασθαι τὸν ἀέρα, ἡνίκ' ἂν ἐκ πυρὸς ἀκινεῖτο ἡ φύσις, ἐπὶ τὸ κραίνειν καὶ ἀποτελεῖν τὰ ὄντα.

Περὶ τῆς αὐτῆς.

ΑΡγεῖοι πολιοῦχον αὐτοῖς τὴν Ἥραν ἡγοῦντο· καὶ διὰ τοῦτο καὶ πανήγυριν αὐτῇ τεταγμένην ἄγουσιν· ὁ δὲ τρόπος τῆς ἑορτῆς, ἅμαξα βοῶν, τὸ χρῶμα λευκῶν· ἀπὸ δὲ τῆς ἁμάξης ἔδει ἱέρειαν· οὕτω δὲ ἔχειν ἄκρι τοῦ ναοῦ· τὸ δὲ ἱερὸν, ἔξω τοῦ ἄστεος· ἧκεν οὖν ποτε ὁ χρόνος φέρων τὴν ἑορτήν· ὁ δὲ νόμος, ἀπὸ τῶν βοῶν οὐκ ὄντων, ἐκώλυεν· ἀλλ' ἐσοφίσατο τὴν ἀπορίαν ἡ ἱέρεια, μήτηρ οὖσα νεανίσκων, ἀντὶ βοῶν τῷ σχήματι γενομένων· ἐπεὶ τοίνυν τὸ παρὰ τῶν βοῶν παρὰ τῶν παίδων ἐγένετο, στᾶσα κατὰ τὸ ἄγαλμα, μισθὸν ἀπῄτει τοῦ πόνου· καὶ ἔδωκε

ctionem & materiæ commixtionem fiat elementorum productio: sive, quod est probabilius, quod tantisper aer subsistat quantisper ab igne impellatur, & moveatur natura, ad commiscendum & procreandum entia.

De eâdem.

JUnonem deam sibi tutelarem existimant Argivi, & propterea festum in honorem ejus institutum celebrant: festi verò mos erat plaustrum bobus tractum colore albis: eo in curru sedere oportebat sacerdotem, & sic ad templum usque procedere: templum verò erat extra urbem: advenit ergo tempus celebrandi festi, quo bobus non præsentibus, mos claudicaret: sed animadvertit penuriam sacerdos, quæ mater adolescentum erat, boum tum munera fungentium: postquam igitur quod à bobus fieri debuerat, à filiis esset peractum

ἔδωκε, φασὶν, ἡ θεός· ὕπνος ἦν ὁ αὐτὸς, καὶ τοῦ βίου πέρας γενόμενος.

Περὶ τῶν ὥρων.

Ἐκ Θέμιδος ὁ Ζεὺς λέγεται γεννῆσαι τὰς Ὥρας, ὑφ' ὧν τὰ ἀγαθὰ πάντα ἐν ἡμῖν ὀρέγεται καὶ φυλάττεται· καλεῖται δὲ αὐτῶν ἡ μὲν Εὐνομία, ἀπὸ τοῦ ἐπιβάλλοντος τῆς διανεμήσεως· ἡ δὲ Δίκη, ἀπὸ τοῦ δίχα χωρίζειν ἀπ' ἀλλήλων τοὺς διαφερομένους· ἡ δὲ Εἰρήνη ἀπὸ τοῦ διὰ λόγου, καὶ οὐ δι' ὅπλων διακρίνεσθαι ποιεῖν· ἐκάλουν γὰρ τὸν λόγον Εἰρήνην· ὁ δὲ πόλεμος, ἀπὸ τοῦ πολλοὺς ὀλλύναι οὕτως ὠνόμασται, ἢ ἀπὸ τοῦ παλάμαις σπεύδειν περιγίνεσθαι τῶν ἐναντίων.

Περὶ

actum consistens ad statuam, pretium laboris poposcit, deámque dedisse ferunt, somnum scilicet & vitæ finem.

Æn. Lib. 3. *v.* 380.

De Horis.

JUpiter fertur ex Themide sustulisse horas, à quibus omnia bona, quæ nobis adsunt porriguntur & custodiuntur: earum una vocatur Eunomia, propter æquam rerum distributionem: altera Δίκη, i.e. *Justitia*, quòd jure contendentium lites dirimat: tertia verò Εἰρήνη, i.e. *Pax*, quòd ratione & non armis lites dirimi efficit: nam veteres rationem *pacem* vocabant: πόλεμος autem, i.e. *bellum*, quòd plurimos perdat, ità nominatur, aut ἀπὸ παλάμαις, quòd soleamus manibus niti ut adversarios vincamus.

Ovid. *Fast. Lib.* 1. *vers.* 125.

De

Περὶ Ναρκίσσου.

Λέγεται περὶ αὐτοῦ, ὡς ἐν ὕδατι τὴν ἑαυτοῦ σκιὰν ἰδὼν, καὶ ἐρασθεὶς ἥλατο εἰς τὸ ὕδωρ ἐφ' ᾧ τὴν αὐτοῦ σκιὰν περιπτύξασθαι, καὶ οὕτως ἀπεπνίγη· οὐκ ἀληθὲς δὲ τοῦτο· οὐ γὰρ εἰς ὕδωρ ἀπεπνίγη, ἀλλ' ἐν τῇ ῥευστῇ τῆς ἐνύλου σώματος φύσει τὴν ἑαυτοῦ διασπαρμένος σκιὰν, ἤτοι τὴν ἐν τῷ σώματι ζωὴν· ἥτις ἐστὶ τὸ ἔσχατον εἴδωλον τῆς ὄντως ψυχῆς, καὶ ταύτην ὡς οἰκείαν περιπτύξασθαι σπουδάσας, τουτέστι τὴν κατ' αὐτὴν ζωὴν ἀγαπήσας, ἀπεπνίγη, γεγονὼς ὑπόβρυχος, ὡς φθείρας τὴν ὄντως ψυχήν· ὅθεν καὶ παροιμία τις φάσκει, δεδιὼς τὴν σαυτοῦ σκιὰν, διδάσκει δὲ δεδιέναι τὴν περὶ τὰ ἔσχατα ὡς πρῶτα σπουδὴν, ὄλεθρον ἡμῖν ἐνάγουσαν τῆς ψυχῆς, ἤτοι ἀφανισμὸν τῆς ἀληθοῦς τῶν πραγμάτων γνώσεως, καὶ τῆς προσαπτύσεως αὐτῇ τῇ κατ' οὐσίαν πλειότητος.

Περὶ

De Narcisso.

DE eo narrant, ubi primùm umbram ſuam in aquâ conſpexiſſet, & ejuſdem amore ardens, in aquam inſiliit, ut umbram complecteretur, & ità ſuffocatus eſt: hoc autem minimè verum: neque enim in aquam immerſus, ſed in fluxâ materialis corporis naturâ, umbram ſuam conſpiciens, vitam ſcilicet quæ in corpore eſt, occidit: quæ vita eſt ultimum idolum veræ animæ, & hanc quaſi propriam complecti nitens, id eſt, ſecundum illam vitam deperiens, ſuffocatur aquis ſubmerſus, tanquam qui veram animam corruperit: hinc adagio fertur timens propriam umbram: docet verò noſtrum in opera ultima æque ac prima ſtudium timere, quod perditionem animæ nobis inducat, vel veræ rerum cognitionis obliterationem, & perfectionis, quæ ſecundum illam ſui naturam addecet.

Ovid. *Met. Lib.* 3. *fab.* 8.

Περὶ Ὑακίνθου.

ΥΑκινθος Ἀμυκλαῖον ἦν μειράκιον ὡραῖον καὶ καλόν· εἰς τοῦτον εἶδε μὲν ὁ Ἀπόλλων, εἶδε καὶ ὁ Ζέφυρος· καὶ ἄμφω κατείχοντο τῇ μορφῇ, καὶ φιλότιμος ἦν ἀφ' ὧν εἶχεν ἑκάτερος· ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος· μέλη μὲν ἦν τὰ παρ' ἐκείνου καὶ ἡδονή· φόβος δὲ τὰ παρὰ τούτου καὶ ταραχή· ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον, καὶ Ζέφυρον ὑπὸ ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον· μετὰ ταῦτα ἦν γυμνασία τοῦ μειρακίου, καὶ τιμωρία παρὰ Ζεφύρου· δίσκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας, ὑπὸ τούτου μὲν ἀφεθεὶς, ὑπ' ἐκείνου δὲ ἐνεχθείς· καὶ ὁ μὲν, ἐπιθνήσκει· ἡ γῆ δὲ οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται, καὶ τοὔνομα δέχεται, λέγουσι δ' ὅτι καὶ τῆς προσηγορίας ἐν φύλλοις ἐπιγέγραπται τὸ προοίμιον.

Περὶ

De Hyacintho.

HYacinthus erat adoleſcens Amyclæus, formâ pariter ac ætate florenti: quem tum Apollo tum Zephyrus reſpexit: & ambo ejus pulchritudinem depereuntes, & uterque ambitioſus erat quis puerum haberet: ſagittis jaculabatur Apollo, ſpirabat Zephyrus: ab illo carmina proveniebant, & voluptas: ab hoc metus & perturbatio: inclinat ad Deum adoleſcens, & Zephyrum præ zelotypiâ armat ad bellum: deinceps exercitia manebant adoleſcentem, & vindicta à Zephyro: diſcus erat ad interitum ejus inſerviens, qui ab hoc quidem emiſſus ab alio verò impulſus, mortem attulit Hyacintho: videbatur autem terræ indecorum, tantæ calamitatis memoriam deleri, ſed pro adoleſcente florem produxit, idémque nomen indidit, cujus principium foliis eſſe inſcriptum, narrant. Ovid. *Met. Lib.* 10. *fab.* 6.

Περὶ Γλαύκου τοῦ θαλαττίου.

Λέγεται ὅτι οὗτος ὁ Γλαῦκος πόας φαγὼν τινὸς, ἀθάνατος ἐγένετο, καὶ νῦν ἐν τῇ θαλάσσῃ οἰκεῖ· ἔχει δὲ τὸ ἀληθὲς οὕτω· Γλαῦκος μὲν ὁ [illegible] ἁλιεὺς δὲ, Ἀνθηδόνιος τὸ γένος, ἦν κολυμβητὴς ἐν τούτῳ διαφέρων πάντων κολυμβητῶν· κολυμβῶντος δὲ ἐν τῷ λιμένι, ὁρώντων ἁπάντων τῶν ἐν τῇ πόλει, αὐτὸς ἀποκολυμβήσας εἰς τινα τόπον, καὶ μὴ ὀφθεὶς πρὸς οἰκείαν ἐπὶ ἡμέρας πολλάς, διακολυμβήσας πάλιν ἦλθεν αὐτόσε· τῶν θαυμαζόντων δὲ τῶν οἰκείων, πῶς διέσωθη, αὐτοὺς ψευδόμενος ἔφη, ἐν τῇ θαλάττῃ καὶ συγκαλέσαι εἰς αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο, καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιντο λαμβάνειν καὶ ἔλεγε τοῖς πολίταις, τίνας βούλονται τῶν ἰχθύων ἀποκομίζεσθαι αὐτοῖς· καὶ νομίζειν ὡς ἂν ἤθελον, Γλαῦκος θαλάσσιος ἐκλήθη· καὶ δυστυχήσας θηρίῳ θαλαττίῳ, ἀπώλετο· μὴ ἐλθόντος δὲ

αὐτοῦ

De Glauco marino.

DIcitur quòd hic Glaucus postquam herbam comedisset, factus sit immortalis, & nunc in mari habitat: veritas autem ità se habet: Glaucus Piscator fuit Anthedoniensis genere, atque natator præ cæteris omnibus in istâ arte excellens: quem cùm cives in portu aquis se immergentem vidissent, ipse in alium locum natans, & cùm intra paucos dies à suis non esset visus, renatans conspectui illorum se restituit: interrogantibus itaque domesticis, ubinam vitam egisset, ficto mendacio dixit, in mari: & concludens apud ipsum pisces, nec quisquam aliorum piscatorum, dum sæviebat tempestas, pisces capere potuissent: & dixit civibus, cujusmodi sibi pisces afferri voluerint: prolatisque quos vellent, Glaucus vocatus est marinus: denique in feram incidens

αὐτοῦ ἐκ τῆς θαλάσσης ἐμυθολόγησαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάσσῃ οἰκεῖ, κἀκεῖ μένει.

Περὶ Μήτρας.

ΠΕρὶ Μήτρας τῆς Ἐρισίχθονος φασὶν, ὁπότε τις βούλοιτο, ἀλλάσσειν τὴν ἰδέαν· ὁ δὲ μῦθος καταγέλαστος· πῶς γὰρ εἰκὸς ἐκ κόρης γενέσθαι βοῦν, καὶ αὖθις κύνα, ἢ ὄρνεον; τὸ ἀληθὲς ἔχει ὧδε. Ἐρισίχθων ἦν ἀνὴρ Θετταλὸς, καὶ διαφθείρας τὰ χρήματα, πένης ἐγένετο· ἦν δὲ θυγάτηρ αὐτῷ καλὴ καὶ ὡραία, Μήτρα τὸ ὄνομα· ὅς τις δὲ ἴδεν αὐτὴν ἠρᾶ ταύτης ἀργυρίῳ μὲν ἂν οἱ τότε ἄνθρωποι οὐκ ἐμνηστεύοντο· ἐδίδοσαν δὲ οἱ μὲν τοὺς ἵππους, οἱ δὲ βοῦς, τινὲς δὲ πρόβατα, ἢ ὃ ἂν ἐθέλῃ ἡ Μήτρα· ἔλεγον δὲ οἱ Θετταλοὶ, ὁρῶντες ἀθροιζόμενον τῷ Ἐρισίχθονι τὸν βίον, ὅτι ἐγένετο ἐκ Μήτρας αὐτῷ καὶ ἵππος,

καὶ

dens marinam, periit: cùm verò è mari iterum non rediiſſet, fabulati ſunt, illum in mari habitare, ibíque manere.

Ovid. *Met. Lib.* 13. *fab.* 15.

De Metrâ.

DE Metrâ Eriſichthonis filiâ ferunt, quod quandocunque vellet, formam mutaret: fabula autem eſt ridicula: quomodo enim veriſimile eſt ex puellâ bovem fieri, & rurſus canem, aut avem? veritas ità ſe habet: Eriſichthon erat vir Theſſalus, & conſumtâ re familiari, pauper evaſit: erat autem illi filia pulcra & formoſa Metra nomine: quiſquis autem illam vidit, protinus deperiit: tunc enim temporis homines argento non comparabant uxores: dederunt verò nonnulli equos, alii boves, & aliqui oves, aut quicquid Metra voluerit: dicebant ergò Theſſali, videntes quæ vitæ ſunt

 neceſ-

καὶ βοῦς, καὶ τ' ἄλλα, ἀφ' ὧν ὁ μῦθος περιαπεπλάσθη.

Περὶ Ἑσπερίδων.

ΛΕγουσιν ὅτι γυναῖκές τινες ἦσαν αἱ Ἑσπερίδες· ταύταις δὲ ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἣν ἐφύλαττε δράκων· ἐφ' ἃ μῆλα καὶ Ἡρακλῆς ἐστρατεύσατο. ἔχει δὲ ἡ ἀλήθεια ὧδε· Ἕσπερος ἦν ἀνὴρ Μιλήσιος, ὃς ᾤκει ἐν τῇ Καρίᾳ, καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίδες· τούτῳ δὲ ἦσαν οἶς καλαὶ καὶ εὔκαρποι, οἷαι καὶ νῦν αἱ ἐν Μιλήτῳ· ἐπὶ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ. Κάλλιστον γὰρ ὁ χρυσός. Ἦσαν δὲ ἐκεῖναι κάλλισται· μῆλα δὲ καλεῖται τὰ πρόβατα· ἅπερ ἰδὼν ὁ Ἡρακλῆς βοσκόμενα παρὰ τὴν θάλασσαν, περιελάσας ἐνέθετο εἰς τὴν ναῦν· καὶ τὸν ποιμένα αὐτῶν ὀνόματι Δράκοντα εἰσήγαγεν εἰς οἶκον, οὐκέτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ· ἔλεγον

necessaria Erisichthoni congregata, Metram illi fieri equum, bovem, aliáque, unde fabula conficta est.

Ovid. *Met. Lib.* 8. *fab.* 16.

De Hesperidibus.

FErunt quòd mulieres quædam fuerunt Hesperides; iisque aurea mala fuere in arboribus, à dracone servata; ad quæ etiam Hercules expeditionem instituit: hæc autem veritas est: Hesperus erat vir Milesius, qui in Cariâ habitabat, habuitque filias duas quæ Hesperides vocabantur: erant verò huic oves pulcræ & fecundæ, cujusmodi etiam nunc Mileti, proinde vocabantur aureæ. Pulcerrimum enim est aurum. Et illæ fuerunt pulcerrimæ: μῆλα quippe vocantur oves: quas cùm Hercules vidisset pascentes in littore, illas abigens, in navem imposuit, earúmque pastorem Draconem domum abegit,

 mortuo

ἦν οἱ ἄνθρωποι, ἐθαυμάσαντο χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγεν ἐξ Ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα· καὶ ἔνθεν ὁ μῦθος περανεπλάσθη.

Περὶ Ἡρακλέους.

Τάχα δ' ἂν ἡ λεοντὴ καὶ τὸ ῥόπαλον, ἐκ τῆς παλαιᾶς θεολογίας ἐπὶ τοῦτο μετενηνεγμένη εἴη· στρατηγὸν γὰρ αὐτὸν γενόμενον ἀγαθὸν, καὶ πολλὰ μέρη τῆς γῆς μετὰ δυνάμεως ἐπελθόντα, οὐχ οἷόν τε γυμνὸν ἄδοξαν περιεληλυθέναι ξύλῳ μόνῳ ὡπλισμένον, ἀλλὰ τοῖς ἐπισήμοις τοῦ θεοῦ μετὰ τὸν ἀπαθανατισμὸν ὑπὸ τῶν εὐεργετημένων κεκοσμῆσθαι· σύμβολον γὰρ ἑκάτερον εἴη ῥώμης καὶ γενναιότητος· ὁ μὲν γὰρ λέων τὸ γενναιότατον τῶν θηρίων ἐστί· τὸ δὲ ῥόπαλον, τὸ καρτερώτατον τῶν ὅπλων· οἰκείως δὲ παρέδοσαν αὐτὸν Καὶ οἱ τῇ Ἥβῃ συνοικοῦντα, ὁλο-

mortuo jam Heſpero, ſed viventibus adhuc liberis ejus: dicebant igitur homines, vidimus aurea mala, quæ Hercules ex inſulis Heſperidum abegit, occiſo cuſtode dracone: & inde fabula confićta eſt.

Virg. Æn. 4. ver. 484.

De Hercule.

FOrſan pellis leonina & clava ex veterum Theologiâ propter hoc Herculi attributa eſt: cùm enim dux bonus foret, & multæ regiones terræ ipſius vim eſſent expertæ, non ſit veriſimile, quòd nudus & clavâ ſolâ armatus terram peragravit, verùm ſciendum eſt, illum hiſce non ſecus ac inſignibus poſt mortem ſuam eſſe condecoratum, ab iis qui ejus auxilium ſenſerant: utrúmque enim fortitudinis & generoſitatis ſignum eſt: ut enim Leo animalium generoſiſſimum eſt; ità validiſſimum armorum telum eſt

χερειότερον τὴν διάνοιαν ὄντα· ὡς γὰρ νέαι τι δρᾷν δυνατώτεραι αἱ χεῖρες, οὕτω ψυχαὶ ἀμείνους τῶν γεραιτέρων πολύ.

Περὶ Γηρυόνου.

Γηρυόνην φασὶν ὅτι τρικέφαλος ἦν, ἀδύνατον δὲ σῶμα τρεῖς κεφαλὰς ἔχειν· ἦν δὲ τοιόνδε τοῦτο· πόλις ἐστὶν ἐν τῷ Εὐξείνῳ πόντῳ, Τρικαρηνία καλουμένη· ἦν δὲ Γηρυόνης ἐν τοῖς τότε ἀνθρώποις ὀνομαστὸς, πλούτῳ τε καὶ ἄλλοις διαφέρων· εἶχε δὲ καὶ βοῶν ἀγέλην θαυμαστὴν, ἐφ' ἣν ἐλθὼν Ἡρακλῆς, ἀντιποιούμενον Γηρυόνην ἔκτεινεν· οἱ δὲ θεώμενοι ἀπελαυνομένας τὰς βοῦς, ἐθαύμαζον· πρὸς δὲ τοὺς πυνθανομένους ἂν ἔλεγόν τινες, Ἡρακλῆς ταύτας ἀπήλασεν, οὔσας Γηρυόνου τοῦ Τρικαρηνίου· τινὲς δὲ ἐκ

τοῦ

est clava; propriè autem admodum tradiderunt Coi Herculem cohabitare Hebæ, *i.e.* pubertati, quòd ſit mente perfectiſſimus: ut enim ad aliquid agendum manus juvenum ſunt firmiores, ità præſtantiores ſunt ſenum animi.

Ovid. *Met. Lib.* 9. *fab.* 5, 6.

De Geryone.

GEryonem aiunt fuiſſe tricipitem: impoſſibile autem eſt corpus tria capita habere: at tale quid accidit: urbs eſt in Euxino ponto Tricarenia appellata: Geryon verò tunc inter homines celebris erat, divitiis aliiſque rebus præcellens: cæterùm boum gregem habuit admirabilem, quem invadens Hercules, Geryonem reſiſtentem interemit; & qui circumactas viderunt boves, mirabantur: reſponderunt igitur nonnulli interrogantibus, quòd Hercules Geryonis Tricareni boves abegit: quo ex dicto Geryonem

τοῦ λεγομένου, ὑπέλαβον αὐτὸν τρεῖς ἔχειν κεφαλάς.

Περὶ Κερβέρου.

Λέγουσι περὶ Κερβέρου, ὡς κύων ἦν, ἔχων τρεῖς κεφαλάς· δῆλον δὲ ὅτι καὶ οὗτος ἀπὸ τῆς πόλεως ἐκλήθη Τρικάρηνος, ὥσπερ ὁ Γηρυόνης· ἔλεγον δὲ οἱ ἄνθρωποι, καλός τι καὶ μέγας ὁ Τρικάρηνος κύων. Λέγεται δὲ περὶ αὐτοῦ, ὡς Ἡρακλῆς ἐξ ᾅδου ἀνήγαγεν. Ἐγένετο δὲ τοιοῦτόν τι· Γηρυόνῃ περὶ ταῖς βουσὶν ἦσαν κύνες μεγάλαι καὶ νεανικαί· ὀνόματα δὲ ἦν αὐτοῖς τάδε· τῷ μὲν Κέρβερος, τῷ δὲ Ὦρος. Τὸν μὲν οὖν Ὦρον Ἡρακλῆς ἐν Τρικαρίᾳ, πρὶν περιελαύνειν τὰς βοῦς, ἀναιρεῖ· ὁ δὲ Κέρβερος συνηκολούθει ταῖς βουσίν· ἐπιθυμήσας δὲ τοῦ κυνὸς ἀνὴρ Μυκηναῖος τοὔνομα Μολοττός, τὸ μὲν πρῶτον ᾔτει τὸν Εὐρυσθέα ἀποδοῦναι τὸν κύνα· οὐ βουλομένου δὲ τοῦ Εὐρυσθέως, ἀναπείθει τοὺς βουκόλους, καὶ τὸν κύνα καθειργνύουσιν

ἐν

ryonem tria capita habuiſſe, ſunt qui ſuſpicabantur.

Virg. Æn. 8. verſ. 202.

De Cerbero.

CErberum canem fuiſſe tricipitem ferunt: manifeſtum verò & hunc ipſum à civitate dictum Tricarenum, quemadmodum Geryon: dixerunt igitur homines pulcher ille & magnus canis Tricarenus. De quo etiam dicitur, quòd Hercules illum ex inferis deduxit. Cæterùm ejuſmodi quid factum eſt: Geryon ad coercendas vaccas canes habebat magnos & juvenes: hæc verò illis nomina: uni quidem Cerberus, alteri Orus. Orum quidem Hercules in Tricaria civitate, priuſquam boves abigeret, interemit: Cerberus autem boves ſubſequutus: hunc verò canem cupiens vir Mycenæus nomine Moloſſus, primum quidem ab Euryſtheo canem illum rogabat;

ἐν τῇ Λακωνικῇ ἐπὶ Ταινάρῳ ἐν σπη-λαίῳ τινὶ, καὶ ἀφίησιν αὐτοῦ κεῖναι ἐπιλεί-ας συμβατεύειν. Εὐρυσθεὺς δὲ πέμπει Ἡ-ρακλέα ἐπὶ ζήτησιν τοῦ κυνός· ὁ δὲ πᾶσαν περιιὼν τὴν Πελοπόννησον, ἦλθεν ὅπου ὁ κύων αὐτοῦ ἐμηνύσθη εἶναι, καὶ κα-ταβὰς, ἀνάγει ἐκ τοῦ ἄντρου τὸν κύνα. ἔλεγον δὲ οἱ ἄνθρωποι, ὅτι διὰ τοῦ ἄν-τρου καταβὰς εἰς ᾅδου ὁ Ἡρακλῆς, ἀνή-γαγε τὸν κύνα.

Περὶ Ὕδρας.

ΛΕγεται περὶ Ὕδρας, ὅτι Λερναῖ-ος ὄφις ἦν, ἔχων πεντήκοντα κε-φαλὰς, σῶμα δὲ ἕν· καὶ ἐπειδὴ αὐτῆς ἀ-πέκοι κεφαλὴν μίαν, δύο ἀναφύεσθαι. Τὸ δὲ ἀληθὲς ἔχει ὧδε· Λέρνος ἦν βα-σιλεὺς, ᾤκουν δὲ πάντες οἱ ἄνθρωποι κατὰ κώμας· ἦσαν δὲ καὶ βασιλεῖς ἐφ᾽ ἑκάστῳ

τῶν

